www.tezaurliturgic.ro

Ἀρχιμ. Ἰωακείμ Ἱεροσολυμίτου τοῦ Χίου

# Ο ΟΣΙΟΣ ΠΑΡΘΕΝΙΟΣ Ο ΧΙΟΣ

## 1815-1883
## ΒΙΟΣ – ΘΑΥΜΑΤΑ – ΑΚΟΛΟΥΘΙΑ



Γ΄ Ἔκδοσις

ΙΕΡΟΥΣΑΛΗΜ 2000

www.tezaurliturgic.ro

Φυλλάδιον ἐκ τῶν σωζομένων φυλλαδίων διά τῶν ὁποίων προσηύχετο ὁ Ἅγιος Παρθένιος. Φέρει χειρογράφως τήν ἀποστολήν εἰς τόν Ἅγιον. Προέρχεται ἐκ τοῦ Κοινοβίου τοῦ Προφήτου Ἠλιοῦ τῆς Σάμου. Μετ' αὐτοῦ τοῦ φυλλαδίου ἀποστέλλεται καί ἕτερον διά τόν Ὅσιον Γέροντα Παχώμιον τόν Ἁγιοπατερίτην, τόν Γέροντα καί Πνευματικόν τοῦ Ἁγίου Νεκταρίου τοῦ ἐν Αἰγίνῃ, ὁ ὁποῖος ἐπεσκέπτετο καί τόν Ὅσιον Παρθένιον εὐλογίας χάριν.

## ΕΥΧΗ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΠΑΡΘΕΝΙΟΝ

Ὅσιε Πάτερ Παρθένιε ἆρον Σου τάς Ὁσίας χεῖρας πρός τόν Θεόν, ὡς παρρησίαν ἔχων πολλήν καί τῇ συμπαθείᾳ Σου ρῦσαι ἡμᾶς πάσης ἀνάγκης, ἐξάγαγε παντοίων στενώσεων, νόσων ἀπάλλαξον, πίστιν πρόσθες ἡμῖν, καί τοῦ βίου ἐκχωρήσαντος τῇ σῇ σκηνῇ σκηναγώγησον.

# ΜΕΡΟΣ Γ'

## ΔΕΚΕΜΒΡΙΟΥ Η'. ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΠΑΡΘΕΝΙΟΥ ΤΟΥ ΝΕΟΥ, ΤΟΥ ΕΝ ΧΙΩ ΑΣΚΗΣΑΝΤΟΣ

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ*

*Ἱστῶμεν στίχους δ'. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.*

*Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.*

Τόν μιμητήν τῶν Ὁσίων καί ὁμοιότροπον, Παρθένιον τόν θεῖον, εὐφημήσωμεν πάντες· οὗτος γάρ ἐν Χίῳ ἀσκητικῶς, τῷ Χριστῷ εὐηρέστησε, καί πρός ἐνάρετον βίον πάντας ἡμᾶς, κατευθύνει θείᾳ χάριτι.

Τῶν ἐπιγείων ἁπάντων Πάτερ ηὐλόγησας, καί θεολήπτῳ γνώμῃ, ἠκολούθησας χαίρων, Παρθένιε θεόφρον Χριστῷ τῷ Θεῷ, διά πόνων ἀσκήσεως· διό πλουσίων ἠξίωσαι δωρεῶν, παρ' αὐτοῦ ὡς ἐνθεώτατος.

Ἐν τῷ σπηλαίῳ θεόφρον βίον ἰσάγγελον, θεοπρεπῶς ἀνύων, ὅλος φῶς καθωράθης, φωτίζων τάς καρδίας τῶν εὐσεβῶν, ἀρετῆς πρός ἐπίδοσιν· καί νῦν δυσώπει Παρθένιε ἐκτενῶς, τοῦ σωθῆναι τούς τιμῶντάς σε.

* Ποιηθεῖσα παρά Γερασίμου Μοναχοῦ, Ὑμνογράφου Μικραγιαννανίτου.

www.tezaurliturgic.ro



Τοῦ Παρακλήτου τήν χάριν Πάτερ δεξάμενος, προφητικῶς προλέγεις, τῶν μελλόντων τήν γνῶσιν, τά πόρρω ὡς παρόντα προθεωρῶν, θεοφόρε Παρθένιε˙ ὁ γάρ Χριστός ὅν ἐδόξασας ἱερῶς, θαυμαστῶς σε ἀντεδόξασεν.

*Δόξα. Ἦχος α'.*

Ἀσκητικόν ὑπελθών ἀγῶνα, καί δι' ἀρετῆς Θεῷ εὐαρεστήσας, τῆς θείας χάριτος ὄργανον, ἀνεδείχθης Παρθένιε˙ τῷ γάρ θείῳ θελήματι, ὑποτάξας τόν νοῦν, ἔξω κόσμου καί σαρκός ἐβίωσας, καί τῶν πάλαι Ὁσίων, ἰσότιμος ὤφθης˙ μεθ' ὧν τῆς ἄνω δόξης τρυφῶν, ὑπέρ ἡμῶν Χριστόν ἱκέτευε, τῶν τελούντων τήν μνήμην σου.

*Καί νῦν. Θεοτοκίον.*

Ἁμαρτωλῶν τάς δεήσεις προσδεχομένη, καί θλιβομένων στεναγμόν μή παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς Παναγία Παρθένε.

*Ἀπόστιχα*

*Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.*

Οἶκον τήν σήν ψυχήν, ἀσκητικοῖς καμάτοις, τοῦ Πνεύματος τελέσας, Ἀγγέλοις ἠριθμήθης, Παρθένιε μακάριε.

*Στίχ. Τίμιος ἐναντίον Κυρίου...*

Χίος ἡ σή πατρίς, καυχᾶται ἐν σοί Πάτερ, καί τήν σεπτήν σου μνήμην, Παρθένιε τιμῶσα, αἰνεῖ τόν σέ δοξάσαντα.

*Στίχ. Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον...*

Πάντας τούς εὐλαβῶς, προσπίπτοντας παμμάκαρ, σορῷ σου τῇ ἁγίᾳ, λύτρωσαι πάσης βλάβης, Παρθένιε πρεσβείαις σου.



*Δόξα. Τριαδικόν.*

Ἄναρχε Παντουργέ, Τρισήλιε Θεότης, λιταῖς τοῦ Παρθενίου, δίδου τοῖς σοῖς ἱκέταις, φῶς θεῖον καί σωτήριον.

*Καί νῦν. Θεοτοκίον.*

Λύτρωσαι τῶν δεινῶν, παθῶν Θεογεννῆτορ, τήν ταπεινήν ψυχήν μου, καί φέγγει μετανοίας, τόν νοῦν μου καταλάμπρυνον.

*Νῦν ἀπολύεις, τό τρισάγιον, τό Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καί ἀπόλυσις.*

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

*Μετά τόν Προοιμιακόν, τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ'. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.*

*Ἦχος α'. Πανεύφημοι Μάρτυρες.*

Πάτερ Παρθένιε ζωῆς, ἐναρέτου λάμψεσι, φωτοειδής ἐχρημάτισας, ἐσχάτοις ἔτεσι, καί καταπυρσεύεις, τοῖς ἐν σοί χαρίσμασι, τούς πίστει ἐκτελοῦντας τήν μνήμην σου, Χριστοῦ δεόμενος, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τήν εἰρήνην, καί τό μέγα ἔλεος.

Πάτερ Παρθένιε Χριστοῦ, πτερωθείς τῷ ἔρωτι, ἐν τῷ σπηλαίῳ ἠγώνισαι, καθάπερ ἄσαρκος καί Μονήν ἁγίαν, Μάρκῳ τῷ θεόφρονι, Χριστοῦ τῷ Ἀποστόλῳ ἀνήγειρας, μονή γενόμενος, τῆς Τριάδος θείαις πράξεσι, καί χαρίτων, κειμήλιον ἔμψυχον.

www.tezaurliturgic.ro



Πάτερ Παρθένιε φωτί, θείῳ ἐλλαμπόμενος, προφητικῶς προηγόρευσας, πολλοῖς τά μέλλοντα, καί σεισμόν προεῖπας, ἐν τῇ Χίῳ μέγιστον˙ διό σε ὡς θεράποντα ἔνθεον, Θεοῦ γεραίρομεν, καί Ὁσίων ἰσοστάσιον, καί μεσίτην, ἡμῶν πρός τόν Κύριον.

*Προσόμοια ἕτερα. Ἦχος β'. Ποίοις εὐφημιῶν.*

Ποίοις εὐφημιῶν στέμμασι, καταστέψωμεν τόν θεοφόρον; τόν ἐν Χίῳ βίον ἰσάγγελον, ἐν ὑστέροις χρόνοις ἀνύσαντα, καί παρά Κυρίου δοξασθέντα˙ τό σκεῦος, τῆς ἐγκρατείας τό πολύτιμον˙ τό ὄμμα, τῆς προοράσεως τό ἔνθεον˙ τόν μιμητήν ἐν ἀγῶσι, τῶν πάλαι Ὁσίων, καί τῆς δόξης συγκοινωνόν, τόν θεῖον Παρθένιον, Μοναστῶν τό ἀκροθίνιον.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀναδήσωμεν τόν θεοφόρον; τό τοῦ Παρακλήτου θησαύρισμα, καί τῶν ἀρετῶν τό ὑπόδειγμα, τοῦ φωτός τοῦ θείου τόν ἀστέρα˙ τό δένδρον, τῆς ἀπαθείας τό κατάκαρπον˙ τόν βότρυν, τοῦ γλυκασμοῦ τῆς θείας Χάριτος˙ τόν ἀκριβῶς προειπόντα, τῶν συμβησομένων, τάς ἐκβάσεις ὡς ἀληθῶς, τόν θεῖον Παρθένιον, εὐσεβῶν τό ἀγαλλίασμα.

Πόθῳ πνευματικῷ σήμερον, εὐφημοῦμέν σε ᾄσμασι θείοις, Πάτερ θεοφόρε Παρθένιε, Χιοπολιτῶν ἐγκαλλώπισμα, καί τῆς ἐγκρατείας ὑποφῆτα˙ τό φῶς γάρ, τοῦ Παρακλήτου εἰσδεχόμενος, προλέγεις, οἷα παρόντα τά ἐσόμενα, καί μεταστάς τῶν προσκαίρων, αἰωνίου δόξης, συμμετέσχες θεουργικῶς, ἡμῖν ἐξαιτούμενος, ἱλασμόν καί θεῖον ἔλεος.

*Δόξα. Ἦχος πλ. β'.*

Ἀγγελικήν ἑλόμενος ζωήν, τῶν ἐν κόσμῳ τήν σχέσιν ἠρνήσω, οὐρανίῳ φρονήματι, Παρθένιε Πάτερ˙ τόν γάρ Σταυρόν τοῦ Χριστοῦ ἀράμενος, αὐτῷ συνεσταύρωσαι, καί τήν μακαρίαν ἔζησας ζωήν, καθαρθείς τῶν προσύλων, διά τῆς πρακτικῆς ἀρετῆς˙ καί τήν σάρκα νεκρώσας, σύν τοῖς παθήμασι καί ταῖς ἐπιθυμίαις, τῶν μελλόντων ἀγαθῶν τάς ἀπορροίας ἐδέξω, ὡς τῶν πάλαι Ὁσίων ἐφάμιλλος˙ καί νῦν σύν αὐτοῖς ἀγαλλόμενος, καί τό κάλλος τό ἄχραντον ὁρῶν, ἱκέτευε ὑπέρ τῶν ψυχῶν ἡμῶν.



*Καί νῦν. Ὁ αὐτός. Προεόρτιον.*

Σπήλαιον εὐτρεπίζου˙ ἡ Ἀμνάς γάρ ἥκει, ἔμβρυον φέρουσα Χριστόν. Φάτνη δέ ὑποδέχου, τόν τῷ λόγῳ λύσαντα τῆς ἀλόγου πράξεως, ἡμᾶς τούς γηγενεῖς. Ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τό φρικτόν˙ καί Μάγοι ἐκ Περσίδος, χρυσόν καί λίβανον καί σμύρναν, τῷ Βασιλεῖ προσάξατε˙ ὅτι ὤφθη Κύριος ἐκ Παρθένου Μητρός˙ ὅν περ καί κύψασα, δουλικῶς ἡ Μήτηρ προσεκύνησε καί προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς. Πῶς ἐνεσπάρης μοι; ἤ πῶς μοι ἐνεφύης; ὁ Λυτρωτής μου καί Θεός.

*Εἴσοδος, Φῶς ἱλαρόν, τό Προκείμενον τῆς ἡμέρας, καί τά Ἀναγνώσματα.*

*Σοφία Σολομῶντος τό Ἀνάγνωσμα.*
(Κεφ. γ' 1).

Δικαίων ψυχαί ἐν χειρί Θεοῦ, καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καί ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα˙ οἱ δέ εἰσίν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης. Καί ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται˙ ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς, καί εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ. Ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καί ὡς

www.tezaurliturgic.ro



σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καί κρατήσουσι λαῶν, καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καί οἱ πιστοί ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.*
(Κεφ. ε' 15)

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι, καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν, καί ἡ φροντίς αὐτῶν παρά Ὑψίστῳ. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας, καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καί τῷ βραχιόνι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τόν ζῆλον αὐτοῦ, καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καί περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δέ ἀπότομον ὀργήν, εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καί ὡς ἀπό εὐκύκλου τόξου τῶν νεφῶν, ἐπί σκοπόν ἁλοῦνται· καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καί ἐρημώσει πᾶσαν τήν γῆν ἀνομία, καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καί σύνετε· μάθετε δικασταί περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν, καί ἡ δυναστεία παρά Ὑψίστου.



*Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.*
(Κεφ. δ' 7)

Δίκαιος, ἐάν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γάρ τίμιον, οὐ τό πολυχρόνιον, οὐδέ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιά δέ ἐστί φρόνησις ἀνθρώποις, καί ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καί ζῶν μεταξύ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μή κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἤ δόλος ἀπατήσῃ ψυχήν αὐτοῦ. Βασκανία γάρ φαυλότητος ἀμαυροῖ τά καλά, καί ρεμβασμός ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. Τελειωθείς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστή γάρ ἦν Κυρίῳ ἡ ψυχή αὐτοῦ· διά τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δέ λαοί, ἰδόντες καί μή νοήσαντες, μηδέ θέντες ἐπί διανοίᾳ τό τοιοῦτον· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Εἰς τήν Λιτήν, Ἰδιόμελα.*
*Ἦχος α'.*

Εὐφραίνεται ἐνθέως, ἡ σέ βλαστήσασα νῆσος Χίος, καυχωμένη τῇ δόξῃ σου, Παρθένιε Ὅσιε· ἐν ὁσιότητι γάρ καί ἀληθείᾳ, τόν Χριστόν ἐθεράπευσας, καί παρ᾽ αὐτοῦ ἀξίως ἐδέξω, τάς ἀμοιβάς τῶν πόνων σου· ἔτι γάρ τῇ σαρκί περιών, πλήρης φωτός ἐφαίνου, καί προφητικῷ στόματι, τά μέλλοντα προέλεγες· καί μεταστάς τῶν τῇδε, τῶν πόθων τήν πλήρωσιν, ἀνεκκεκαλυμμένως εὗρες· διό σοῦ δεόμεθα. Μή παύσῃ πρεσβεύων Πάτερ, ὑπέρ τῶν τιμώντων σε.

*Ἦχος β'.*

Τῶν γεηρῶν τό φθαρτόν καί εὐδιάλυτον, νουνεχῶς κατανοήσας, πρός τά οὐράνια καί μένοντα, τόν νοῦν σου ὕψωσας, ὁλοτρόπῳ Πάτερ σπουδῇ· καί πᾶσι χαίρειν εἰπών, ἔσπευσες Χριστῷ συζῆσαι, δι᾽ ἀσκητικῆς καί καθα-

www.tezaurliturgic.ro



ρᾶς πολιτείας· καί ἐν ὄρει καί σπηλαίῳ ἀνελθών, νηστείαις προσευχαῖς καί δεήσεσι, τῶν πάλαι Ὁσίων, τήν Σπηλαίῳ ζωήν ἐχαρακτήρισας· καί τῶν κατ᾽ ἐκείνους ἀξιωθείς χαρισμάτων, θεοειδής τοῖς τρόποις ὤφθης, Παρθένιε Ὅσιε, λόγον θεῖον προϊέμενος, πρός σωτηρίαν τῶν προσιόντων σοι.

*Ἦχος γ'.*

Τῆς ἀρετῆς τόν ἀγῶνα, ἐν σπηλαίῳ ἀνύων Πάτερ, συντονωτάτῃ ἀσκήσει, ὅλος φῶς ἐφαίνου, τοῦ ἀΰλου φωτός σε περιλάμποντος· ἔνθεν αἰδέσιμος ὤφθης, καί πιστοῖς καί ἀπίστοις, ὡς Θεοῦ θεράπων γνήσιος· καί τῆς Τριαδικῆς ἐνεργείας, μόνη ἔμψυχος γεγονώς, Μονήν θείαν ἤγειρας, ὡς ὅρμον ψυχῶν ἀχείμαστον, καί αἰωνίου σωτηρίας εἴσοδον. Ἀλλ᾽ ὦ Παρθένιε Ὅσιε, ὡς ταῖς ἄνω μοναῖς αὐλιζόμενος, ἀδιαλείπτως πρέσβευε, σώζεσθαι τούς σέ γεραίροντας.

*Ἦχος δ'.*

Τοῖς ἀσκητικοῖς καμάτοις, πολλῷ ζήλῳ εὐδοκιμήσας, τῶν ἀπ᾽ αἰῶνος Ὁσίων τοῖς ἴχνεσιν ἐβάδισας, Ὅσιε Πάτερ Παρθένιε· καί τύπος καί εἰκών αὐτῶν φανείς, ἐν τοῖς ἐσχάτοις καιροῖς, τήν Ἀποστολικήν ρῆσιν ἐσφράγισας τήν λέγουσαν· Ἰησοῦς Χριστός χθές καί σήμερον, ὁ αὐτός καί εἰς τούς αἰῶνας, ὁ παρέχων διά σοῦ ἡμῖν τό μέγα ἔλεος.

*Δόξα. πλ. α'*

Τόν ἐν Ὁσίοις νέον ἀσκητήν, καί ἐν θεοφόροις Πατράσι θεοειδῆ Ὅσιον, Παρθένιον τόν θεῖον, ὕμνοις καί ᾠδαῖς εὐφημήσωμεν· ἀσκητικήν γάρ ἅμιλλαν ζηλώσας, ἐν σαρκί ὡς ἄσαρκος ἐβίωσε, καί τῶν ἀοράτων ἐχθρῶν, τό θράσος καταβέβληκεν, ἐν τῇ ἄνωθεν ροπῇ· καί νῦν τόν ἀμαράντινον ἀναδησάμενος στέφανον, καί τῆς ἐν μετοχῇ ἀπολαύων θεώσεως, αἰτεῖται πᾶσιν ἡμῖν, πταισμάτων τήν συγχώρησιν.



*Καί νῦν. Θεοτοκίον.*

Μακαρίζομέν σε...

*Εἰς τόν Στίχον Στιχηρά Προσόμοια.*

*Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.*

Χαίροις ὁ τῶν τοῦ κόσμου τερπνῶν, ἀπαναστάς ὑπερκοσμίῳ φρονήματι, καί πάσας ἀπονεκρώσας, τάς τῆς σαρκός ἡδονάς, ἐγκρατείας πόνοις καί ἀσκήσεως, Παρθένιε Ὅσιε, Ἀσωμάτων ἐφάμιλλε, Πνεύματος θείου, θεοφόρον κειμήλιον, καί τῆς χάριτος, ἱερόν ἐνδιαίτημα. Ὅθεν σε μακαρίζομεν, ὁσίως βιώσαντα, καί ἐπαξίως τῶν πόνων, τάς ἀμοιβάς κομισάμενον, χειρός ἐκ Κυρίου, τοῦ παρέχοντος τῷ κόσμῳ, τό μέγα ἔλεος.

*Στίχ. Τίμιος ἐναντίον Κυρίου...*

Χαίροις ὁ τῆς ἀγάπης Χριστοῦ, τό πῦρ τό θεῖον ἐν καρδίᾳ δεξάμενος, καί πᾶσαν παθῶν τήν ὕλην, τῆς ἐγκρατείας πυρί, Πάτερ καταφλέξας ἐν τῷ βίῳ σου· ἐντεῦθεν διέλαμψας, ὥσπερ ἄστρον πολύφωτον, ἐν τῷ σπηλαίῳ, τῇ ἐλλάμψει τοῦ Πνεύματος, καί κατέπληξας, τούς ὁρῶντας τήν χάριν σου· ὅθεν καί θείῳ ὄμματι, προβλέπων τά μέλλοντα, ταῦτα προέλεγες πᾶσιν, οἷα παρόντα Παρθένιε, Χριστόν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

*Στίχ. Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον...*

Χαίροις τῆς νήσου Χίου βλαστός, ὁ ἐν λειμῶνι τῆς ὁσίας ἀσκήσεως, ἀνθήσας καθάπερ ἄνθος, καί ἀρετῶν τήν ὀσμήν, πᾶσιν ἀποπνέων τήν μυρίπνοον, Παρθένιε Ὅσιε,

www.tezaurliturgic.ro



ἐγκρατείας ὑπόδειγμα, βίου ἀμέμπτου, ἀληθής ὑποτύπωσις, ταπεινώσεως, παναρμόνιον ὄργανον· λύχνος ἀειλαμπέστατος, ἠθῶν τελειότητος, ὁ ἐκ Πενθόδου τοῦ ὄρους, φωταγωγῶν τάς ψυχάς ἡμῶν, καί πᾶσι πρεσβεύων, τῷ Κυρίῳ δωρηθῆναι, τό θεῖον ἔλεος.

*Δόξα. Ἦχος πλ. δ'.*

Τῶν Ὁσίων μιμητής, τῇ ἐναρέτῳ ζωῇ γενόμενος, τά κατ' αὐτούς ἀνεζωγράφησας, ἐν ἐσχάτοις καιροῖς, Παρθένιε Ὅσιε· ὡς γάρ ἄγγελος μακάριε, ἐν σαρκί ἐπολιτεύσω, καί πλείστων ὤφθης ὁδηγός, πρός ἀρετῆς ἐπίδοσιν. Καί νῦν Ἀγγέλων τοῖς χοροῖς, καί Ἁγίων συνών τοῖς δήμοις, καί τοῦ ἀδήτου φωτός πληρούμενος, σύν αὐτοῖς ἱκέτευε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

*Καί νῦν. Ὁ αὐτός. Προεόρτιον.*

Ὑπόδεξαι Βηθλεέμ, τήν τοῦ Θεοῦ Μητρόπολιν· φῶς γάρ τό ἄδυτον, ἐπί σέ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν οὐρανῷ, ἄνθρωποι δοξάσατε ἐπί τῆς γῆς. Μάγοι ἐκ Περσίδος, τό τρισόκλεον δῶρον προσκομίσατε· Ποιμένες ἀγραυλοῦντες, τόν τρισάγιον ὕμνον μελῳδήσατε· πᾶσα πνοή, αἰνεσάτω τόν Παντουργέτην.

*Νῦν ἀπολύεις, τό τρισάγιον, καί τό Ἀπολυτίκιον.*

*Ἦχος α'. Τῆς ἐρήμου πολίτης.*

Ἐν τῇ Χίῳ ἐκλάμψας ὥσπερ ἄστρον νεόφωτον, τῇ ἀσκητικῇ πολιτείᾳ, θεοφόρε Παρθένιε, καί χάριν δεδεγμένος ἐκ Θεοῦ, τά μέλλοντα προλέγειν ἐμφανῶς, θεραπεύεις τούς νοσοῦντας καί τάς ψυχάς, τῶν πίστει ἐκβοώντων σοι· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σέ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διά σοῦ, πᾶσιν ἰάματα.

*Ἕτερον Ἀπολυτίκιον Ἁγίου Παρθενίου Χιοπολίτου*



*Δόξα. Ἦχος α'.*

Τόν τῆς Χίου προστάτην καί Πενθόδου τό καύχημα, Εὐαγγελιστοῦ θείου Μάρκου τῆς Μονῆς τόν Δομήτορα ὑμνήσωμεν ἐν ὕμνοις οἱ πιστοί Παρθένιον τόν νέον ἀσκητήν, θεραπεύῃ γάρ νοσοῦντας, καί τῶν μελλόντων προλέγῃ τήν ἔκβασιν. Δόξα τῷ σέ στεφανώσαντι Χριστῷ, δόξα τῷ σέ θαυμαστώσαντι, δόξα τόν τῆς Χίου σεισμόν προκαταγγείλαντι.

*Καί νῦν. Θεοτοκίον.*

Τοῦ Γαβριήλ φθεγξαμένου σοι Παρθένε τό χαῖρε...

*Ἀπόλυσις.*

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετά τήν α'. Στιχολογίαν, Κάθισμα.*

*Ἦχος α'. Τόν τάφον σου Σωτήρ.*

Νεόφωτος ἀστήρ, τῆς ἀσκήσεως ὤφθης, βιώσας ἱερῶς, ἐγκρατείας τοῖς πόνοις, Παρθένιε μακάριε, νήσου Χίου ἀγλάϊσμα. Ὅθεν σήμερον, τήν σήν γεραίροντες μνήμην, εὐφημοῦμέν σε, ὡς πρεσβευτήν καί μεσίτην, ἡμῶν πρός τόν Κύριον.

*Δόξα καί νῦν... Θεοτοκίον.*

Σαρκί τῇ καθ' ἡμᾶς, ἐξ ἁγνῶν σου αἱμάτων, τεχθείς δίχα τροπῆς, ὁ Ὑπέρθεος Λόγος, τόν ἄνθρωπον ἀνύψωσε, καί ἐθέωσεν Ἄχραντε· ὅθεν ἅπαντες, ὡς τοῦ Θεοῦ σε Μητέρα, μεγαλύνομεν, καί σωτηρίας κρηπίδα, ἡμῶν Ἀειπάρθενε.

www.tezaurliturgic.ro



*Μετά τήν β'. Στιχολογίαν, Κάθισμα.*
*Ἦχος δ'. Ταχύ προκατάλαβε.*

Τό σπήλαιον ᾤκησας, ἐν εὐφροσύνῃ ψυχῆς, καί ὅλος πυρίμορφος, τῇ ἐπιλάμψει Θεοῦ, ἐν τούτῳ τεθέασαι· ἔνθεν Μονήν ἁγίαν, ἐν τῷ ὄρει Πενθόδου, Μάρκῳ τῷ Ἀποστόλῳ, εὐλαβῶς ἐδομήσω· μεθ᾽ οὗ σε μακαρίζομεν, Παρθένιε Ὅσιε.

*Δόξα καί νῦν... Θεοτοκίον.*

Θεόν σωματώσασα, εἰς σωτηρίαν ἡμῶν, τήν πρῴην ἀνέτρεψας, εἰς εὐλογίαν ἀράν, τῷ τόκῳ σου Πάναγνε· ὅθεν οἱ σεσωσμένοι, διά σοῦ Θεοτόκε, ὕμνους εὐχαριστίας, σοί προσᾴδομεν πίστει, τήν σήν ἀπεκδεχόμενοι, ἐν πᾶσι βοήθειαν.

*Μετά τόν Πολυέλεον. Κάθισμα.*
*Ἦχος πλ. δ'. Τήν σοφίαν καί Λόγον.*

Ἐλλαμφθείς τῇ ἀΰλῳ μαρμαρυγῇ, διαλύσας τήν νύκτα τήν τῶν παθῶν, ἐκλάμπεις τάς χάριτας, τῆς ὁσίας ἀσκήσεως, ἐν ὑστέροις χρόνοις, καί πᾶσι τά μέλλοντα, προφητικῶς προλέγεις, ἁγίῳ σου στόματι. Ὅθεν καί Ἀγγέλων, συμπολίτης ἐδείχθης, καί πάντων Ἁγίων τε, ὡς τόν δρόμον ἐτέλεσας, θεοφόρε Παρθένιε· μεθ᾽ ὧν ἀεί δυσώπει Χριστόν, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τήν ἁγίαν μνήμην σου.

*Δόξα καί νῦν... Θεοτοκίον.*

Σάρξ ὁ Λόγος ἐκ μήτρας σου γεγονώς, ἀναλλοίωτος μείνας ὡς ἀγαθός, ἐτέχθη ὡς ἄνθρωπος, ἐκ σοῦ Κόρη δι᾽ ἔλεος, πανάφθορον τηρήσας, τήν θείαν ἁγνείαν σου, καί τῆς φθορᾶς ὑψώσας, πεσόντα τόν ἄνθρωπον· ὅθεν τά πολλά σου, μεγαλεῖα ὑμνοῦμεν, πιστῶς καταφεύγοντες, τῇ θερμῇ προστασίᾳ σου, καί βοῶμέν σοι Ἄχραντε. Πρέσβευε τῷ σῷ Υἱῷ καί Θεῷ, τοῦ διδόναι τῶν πταισμάτων ἄφεσιν, τοῖς ἀεί προσκυνοῦσι, τήν ἄφραστον δόξαν σου.



*Τό α'. ἀντίφωνον τοῦ δ'. ἤχου καί τό Προκείμενον.*
*Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.*
*Στίχ. Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον...*

*Εὐαγγέλιον τό τοῦ Ἁγ. Ἀντωνίου.*
*Ὁ Ν'. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου...*
*Καί νῦν. Ταῖς τῆς Θεοτόκου...*
*Ἰδιόμελον. Ἦχος πλ. β'.*
*Στίχ. Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου...*

Ὅσιε Πάτερ, τῷ θείῳ φωτί καταυγασθείς τήν καρδίαν, ὅλην τήν ζωήν Χριστῷ καθιερώσας, τάς ἐντολάς αὐτοῦ πληρώσας, ὡς δοῦλος πειθήνιος· καί τόν δρόμον τῆς ἀσκήσεως τελέσας, τῆς αἰωνίου ζωῆς, κληρονόμος γέγονας. Αὐτῆς καί ἡμᾶς ἀξίωσον, παμμάκαρ Παρθένιε, ταῖς πρός Θεόν πρεσβείαις σου.

*Ὁ Ἱερεύς. Σῶσον ὁ Θεός τόν λαόν σου...*

*Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου καί τοῦ Ἁγίου φέρων τήνδε ἀκροστιχίδα.*

*«Τῷ θείῳ προσλαλῶ Παρθενίῳ. Γερασίμου».*
*Ὠδή α'. Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.*

Τόν φωτισμόν τοῦ Παρακλήτου Ὅσιε, ἀεί δεχόμενος, καί τοῖς τῶν Ἁγίων δήμοις αὐλιζόμενος, ἀκτῖνα θείαν αἴτει μοι, ἵνα μέλψω ἀξίως, τήν φωταυγῆ πολιτείαν σου, Πάτερ θεοφόρε Παρθένιε.

Ὡς προειδώς τήν τῆς ψυχῆς σου ἔλλαμψιν, Ἁγίῳ Πνεύματι, ὁ Κορίνθου θεῖος πρόεδρος Μακάριος, προφητικῶς προέγραψε τά πρακτέα σοι Πάτερ· πολλῶν γάρ στήριγμα πέφηνας, ὡς Θεοῦ θεράπων θερμότατος.

www.tezaurliturgic.ro



Θεῖον σε δῶρον ἐκ Θεοῦ ἐδέξαντο, οἱ σοί γεννήτορες, ὡς ηὔξαντο Πάτερ καί χαρᾶς ἐπλήσθησαν· ἐντεῦθεν τῷ θελήματι, καθυπείξας τῷ θείῳ, ζωῆς τήν τρίβον ἐβάδισας, κόσμου τά τερπνά ἀρνησάμενος.

*Θεοτοκίον.*

Ἐκ τοῦ Πατρός οἷα Υἱός συνάναρχος, πρό τῶν αἰώνων τεχθείς, ὑπέρ νοῦν καί λόγον ἐπ᾽ ἐσχάτων Κύριε, ἀνθρώποις προσωμίλησας, σαρκωθείς ἐκ Παρθένου, ἀτρέπτως δι᾽ ἀγαθότητα, καί φθορᾶς τόν κόσμον διέσωσας.

*ᾨδή γ'. Ὁ στερεώσας κατ᾽ ἀρχάς.*

Ἰθύνας Πάτερ τῆς ψυχῆς, τήν ἔφεσιν τῷ Κυρίῳ, μεταστάσης τῆς μνηστῆς τῶν προσκαίρων, ἠκολούθησας αὐτῷ, ἀσκητικοῖς παλαίσμασι, Παρθένιε θεόφρον, ἀπαρνησάμενος ἅπαντα.

Ὡς ἠμφιάσω μοναστῶν, τό ἅγιον Πάτερ σχῆμα, ἀπεδύσω πρός ἁγίους ἀγῶνας, καί τῶν πάλαι ἀσκητῶν, ἐζήλωσας τά σκάμματα, Παρθένιε θεόφρον, ἔρωτι θείῳ πτερούμενος.

Πόθῳ ἀρξάμενος θερμῷ τῶν τῆς ἀσκήσεως πόνων, πρός τό ὄρος τῆς Πενθόδου ἀνῆλθες, καί πρός ὄρη νοητά, τόν νοῦν σου ἀνεπτέρωσας, Παρθένιε θεόφρον, τῶν ὑπέρ νοῦν ἐφιέμενος.

*Θεοτοκίον.*

Ῥάβδος βλαστήσασα Χριστόν, τό ἄνθος τῆς ἀφθαρσίας, ἀποτίστως ὡς φησίν Ἡσαΐας, σύ ὑπάρχεις Μαριάμ· διό φθορᾶς ἐξάρπασον, τήν ταπεινήν ψυχήν μου, καί τῆς δουλείας τοῦ χείρονος.

*Κάθισμα. Ἦχος γ'. Τήν ὡραιότητα.*

Κόσμου τερπνότητα, ἐμφρόνως ἔλιπες, καί πρός τήν



ἄσκησιν, προθύμως ἔδραμες, δι᾽ ἧς ἡνώθης τῷ Χριστῷ, καθάρας σου τήν καρδίαν· ἔνθεν θείας χάριτος, ἀνεδείχθης κειμήλιον, καί μελλόντων ἔκβασιν, ἀκριβῶς προηγόρευσας· διό πᾶσα ἡ Χίος τιμᾷ σε, ὕμνοις Παρθένιε παμμάκαρ.

*Δόξα καί νῦν... Θεοτοκίον.*

Σάρκα προσείληφεν, ἐκ τῶν αἱμάτων σου, ὁ Ὑπερούσιος, Θεός καί Κύριος, μή ὑποστάς Κόρη τροπήν, δι᾽ ἄφατον εὐσπλαγχνίαν, καί διπλοῦς ταῖς φύσεσιν, ἐν μιᾷ ὑποστάσει δέ, κόσμῳ πεφανέρωται, καί διέσωσεν ἅπαντας, τούς πίστει προσκυνοῦντας Παρθένε, τοῦ τοκετοῦ σου τό μυστήριον.

*ᾨδή δ'. Σύ μου ἰσχύς.*

Ὅλος Χριστῷ, καθιερώθης Παρθένιε, ἀνενδότῳ, ἔρωτι, ὑψούμενος, ἐκ τῶν γηΐνων πρός νοητά, κάλλη Παραδείσου, συντονωτάτῃ ἀσκήσει σου· εὐχαῖς γάρ ὁλονύκτοις, τῷ Σωτῆρι ἐβόας· τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Σκεῦος φωτός, ὡς ἀληθῶς ἐχρημάτισας, θεοφόρε, Ὅσιε Παρθένιε, ἐν τῷ σπηλαίῳ Πάτερ οἰκῶν, καί πολλαῖς νηστείαις, σαρκός νεκρώσας τό φρόνημα· ἐντεῦθεν ἐπληρώθης, χαρισμάτων ἁγίων, καί τοῖς πᾶσι αἰδέσιμος πέφηνας.

Λάμπων φωτί, τῆς θεϊκῆς ἐπιλάμψεως, θεοφόρε, Ὅσιε Παρθένιε, ὡς καθαρθείς σῶμα καί ψυχήν, πυρίμορφος ὅλος, ἔνδον τοῦ δάσους τεθέασαι· ἐντεῦθεν ἐξεπλάγη, κατιδών σου τήν δόξαν, ὁ ἐλθών τιμωρῆσαί σε Ἅγιε.

*Θεοτοκίον.*

Ἀπό παθῶν, τῶν χαλεπῶς τυραννούντων με, τήν ψυχήν μου, λύτρωσαι Πανάμωμε, καί μετανοίας, θείῳ φωτί,

www.tezaurliturgic.ro



λάμπρυνον τόν νοῦν μου, ὡς ἀγαθότητος πέλαγος, ὡς ἄν τῆς ἁμαρτίας, τό σκότος ἀποφύγω, ὁ προστρέχων τῇ σκέπῃ σου Ἄχραντε.

*Ὠδή ε'. Ἵνα τί με ἀπώσω;*

Λαμπρυνθείς τήν καρδίαν, ταῖς τῆς ἀπαθείας ἀκτῖσι Παρθένιε, ὅλος φῶς ὡράθης, ὑπεράνω τῆς γῆς προσευχόμενος, τῷ τῆς Ἄγαρ γόνῳ, οὗ τήν παράλυτον γυναῖκα, τῇ θερμῇ σου ἐντεύξει ἰάτρευσας.

Ὡς ναός Θεοῦ ζῶντος, οἶκον καί ναόν καί Μονήν θείαν ἤγειρας, Μάρκῳ τῷ Ἁγίῳ, τοῦ Χριστοῦ Ἀποστόλῳ Παρθένιε, πόνοις καί ἱδρῶσι, καί ἐν αὐτῇ ὁσίων ἔργων, σε αὐτόν στήλην ἔμπνουν παρέστησας.

Παθοκτόνοις νηστείαις, Πάτερ τό σαρκίον σου θλίβων ἑκάστοτε, τῶν πάλαι Ὁσίων, ἰσοστάσιος ὤφθης τοῖς σκάμμασι, καί τῆς κατ' ἐκείνους, πλουσίας χάριτος μετέσχες, ἐν ἐσχάτοις τοῖς χρόνοις Παρθένιε.

*Θεοτοκίον.*

Ἀειπάρθενε Κόρη, κεχαριτωμένη Ἁγνή Παντευλόγητε, καταθλιβομένην, τήν ψυχήν μου δουλείᾳ τοῦ χείρονος, πλῆσον εὐφροσύνης, καί τῇ Χριστοῦ ἐλευθερίᾳ, τήν ζωήν μου κυβέρνησιν δέομαι.

*Ὠδή στ'. Ἱλάσθητί μοι Σωτήρ.*

Ρήσεσι Πάτερ σοφαῖς, καί πρακτικαῖς παραινέσεσι, καθοδηγῶν ἀσφαλῶς, πολλούς εἰς μετάνοιαν, ψυχῶν ἀναδέδειξαι, θεῖος οἰκονόμος, καί σεμνῶν ἠθῶν διδάσκαλος.

Θείῳ φωτί ὁμιλῶν, σαφῶς προλέγεις τά μέλλοντα, καί προορῶν τά μακράν, ὡς ἐγγύς Παρθένιε, τούς πάντας κατέπληττες, τῇ σῇ δεδομένῃ, οὐρανόθεν θείᾳ χάριτι.



Ἐν τῇ καρδίᾳ τῇ σῇ, προκαθαρθείσῃ Παρθένιε, ἐνῴκησε μυστικῶς, τό Πνεῦμα τό Ἅγιον· ὅθεν καί προείρηκας, τόν συμβάντα Πάτερ, ἐν τῇ Χίῳ σεισμόν μέγιστον.

*Θεοτοκίον.*

Ναόν με τῆς θεϊκῆς, Κόρη ἀνάδειξον χάριτος, καθάρασά μου τόν νοῦν, ἐκ πάσης φαυλότητος, καί πταισμάτων δίδου μοι, ταῖς σαῖς ἱκεσίαις, Θεοτόκε τήν συγχώρησιν.

*Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.*

Τήν τῶν Ὁσίων πολιτείαν μιμησάμενος
Αὐτῶν ἐν πᾶσιν ἀνεδείχθης ἰσοστάσιος
Καί τῆς χάριτος τῆς θείας λαμπρόν δοχεῖον
Ἀλλ' ὡς δόξης ἐντρυφῶν τῆς ὑπέρ ἔννοιαν
Καθικέτευε λυτροῦσθαι πάσης θλίψεως
Τούς βοῶντάς σοι, χαίροις Πάτερ Παρθένιε.

*Ὁ Οἶκος.*

Ἄγγελος ἐν ἀσκήσει, ἐν ὑστέροις τοῖς χρόνοις, Παρθένιε σαφῶς ἀνεδείχθης· καί νῦν Ἀγγέλων χοροῖς συνών, σύν αὐτοῖς ἀεί Χριστόν καθικέτευε, διδόναι χάριν ἄνωθεν, τοῖς ἐκβοῶσί σοι τοιαῦτα.

Χαῖρε Δαφνῶνος εὐῶδες ἄνθος
Χαῖρε τῆς Χίου τό θεῖον αὔχος
Χαῖρε τῶν Ὁσίων Πατέρων ὁμόζηλε
Χαῖρε τῶν Ἁγίων ἁπάντων ὁμόσκηνε
Χαῖρε ὅτι ἀνατέταλκας ἐν ὑστέροις τοῖς καιροῖς
Χαῖρε ὅτι προεφήτευσας τά ἐσόμενα πολλοῖς
Χαῖρε τῆς ἐγκρατείας πρακτικώτατος τύπος
Χαῖρε ὁ τοῦ Σωτῆρος γνησιώτατος φίλος
Χαῖρε Χριστοῦ ὁρῶν τήν λαμπρότητα
Χαῖρε ἐχθροῦ σοβῶν τήν κακότητα

www.tezaurliturgic.ro



Χαῖρε λαμπτήρ μοναζόντων ὁ νέος
Χαῖρε πιστῶν θεοβράβευτον σθένος.

*Χαίροις Πάτερ Παρθένιε.*

*Συναξάριον.*

Τῇ η'. τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου καί θεοφόρου Πατρός ἡμῶν Παρθενίου τοῦ Χίου, κοιμηθέντος ἐν ἔτει, ᾳωπγ' (1883).

*Στίχ. Ἀσκήσας Παρθένιε ἐσχάτοις χρόνοις.*
*Τῶν πάλαι Ὁσίων τήν χάριν ἐκφαίνεις.*
*Ὀγδοάτῃ Παρθενίοιο θυμός γῆθεν ἀέρθη.*

Οὗτος ὁ τοῦ Θεοῦ ἄνθρωπος ἦν ἐκ τῆς νήσου Χίου, γεννηθείς ἐν ἔτει ᾳωιε' (1815), ἐν χωρίῳ οὗ ἡ κλῆσις Δαφνών, ἐκ γονέων εὐσεβῶν, Μιχαήλ καί Ἀντωνίας καλουμένων, τοὐπίκλην Φραγκοσκούφη, ἡ Μενῆ. Τήν γέννησιν τούτου καί τήν μετέπειτα κατά Χριστόν προκοπήν, προεῖπε τοῖς γονεῦσιν ὁ ἐν ἁγίοις Μακάριος ὁ Κορίνθου, ἐπιθυμοῦσι σφόδρα τεκεῖν ἄρρεν, ἅτε μόνο θῆλυ κεκτημένοις.

Ἀνδρωθείς ἐμνηστεύθη νεάνιδί τινι, ἥτις μεταστᾶσα τῶν τῇδε, προείλετο ἀκολουθῆσαι καί δουλεῦσαι τῷ Κυρίῳ· διό καί χαίρειν πᾶσιν εἰπών, προσῆλθε τῇ ἱερᾷ Μονῇ, ἥ Νέα κέκληται Μονή, ἔνθα τό μοναχικόν περιβληθείς σχῆμα, ὠνομάσθη Παρθένιος, ἀντί Πολυδώρου. Ἔνθεν τό ὄρος Πενθόδου καταλαβών, ᾤκησεν ἔν τινι σπηλαίῳ, συντονωτάτης ἀσκήσεως ἀγῶνας ἀνύων, ἐν προσευχαῖς καί νηστείαις καί παννύχοις στάσεσι Θεῷ ἀναγόμενος· καί καθάρας ἑαυτόν, ἐπλήσθη θείων ἐλλάμψεων· καί μελλόντων τῇ γνώσει πλουτισθείς, προεῖπε πλείστοις τά ἐσόμενα, ὡς καί τόν μέγαν σεισμόν τόν γεγονότα ἐν Χίῳ ἐν ἔτει ᾳωπα' (1881). Καί τήν τοῦ Ἁγίου Ἀποστόλου Μάρκου ἱεράν ἀνεγείρας Μονήν, ὅλος φῶς, ἀΰλῳ φωτοχυσίᾳ



περιχεόμενος, ὡράθη ἐπαλλήλως τοῖς κενά κατ' αὐτοῦ μελετήσασι. Καί πλείστοις ἄλλοις θαύμασι δοξασθείς, ἐκοιμήθη ἐν Κυρίῳ τῇ η' (8ῃ) Δεκεμβρίου μηνός, ἐν ἔτει σωτηρίῳ ᾳωπγ' (1883) τοῖς ἀπ' αἰῶνος Ἁγίοις συναφθείς.

*Ταῖς αὐτοῦ Ἁγίαις πρεσβείαις Χριστέ ὁ Θεός ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.*

*ᾨδή ζ'. Θεοῦ συγκατάβασιν.*

Ἰσχύς σοι δεδώρηται, παρά Κυρίου Πάτερ Παρθένιε, ἐνεργεῖν τάς ἰάσεις, καί προαγγέλειν τά συμβησόμενα, καί πᾶσι χάριν παρέχειν τοῖς κράζουσιν. Εὐλογητός ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς πλήρης ὢν χάριτος, τοῦ Παναγίου Ὅσιε Πνεύματος, φωτοφόρος ὡρᾶσο, καί θείᾳ αἴγλῃ περικυκλούμενος, τοῖς καθαροῖς τῇ καρδίᾳ καί ψάλλουσιν. Εὐλογητός ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Γενναίως ἠγώνισαι, ὑστέροις χρόνοις Πάτερ Παρθένιε, καί τῶν πάλαι Ὁσίων, τήν πολιτείαν ὤφθης μιμούμενος, μεθ' ὧν χορεύεις καί ψάλλεις γηθόμενος. Εὐλογητός ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

*Θεοτοκίον.*

Ἐκύησας Ἄχραντε, τόν Θεόν Λόγον ἐκ τῶν αἱμάτων σου, σαρκωθέντα ἀτρέπτως, διά τό σῶσαι τούς μεγαλύνοντας, τῆς σῆς λοχείας τό μέγα μυστήριον, Θεογεννῆτορ Ἁγνή, καί Ἀειπάρθενε.

*ᾨδή η'. Ἑπταπλασίως κάμινον.*

Ρείθροις δακρύων ἤρδευσας, τῆς ψυχῆς σου τήν ἄρουραν, καί τῆς ἀπαθείας τούς καρπούς ἐξήνεγκας, ὡς φοίνιξ ὑψίκομος, Παρθένιε μακάριε, δι' ὧν διατρέφεις,

www.tezaurliturgic.ro



τούς ἐν πίστει βοῶντας. Οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαός ὑπερυψοῦται, Χριστόν εἰς τούς αἰῶνας.

Ἀγγελικῶς ἐβίωσας, μετά σώματος Ἅγιε, καί ἀγγελικῶν χαρίτων κατηξίωσαι· τά πόρρῳ προλέγεις γάρ, προφητικῷ χαρίσματι, καί πρός σωτηρίας, τήν ὁδόν κατευθύνεις, ἐν λόγοις τε καί ἔργοις, τούς ἐν πίστει βοῶντας· λαός ὑπερυψοῦται, Χριστόν εἰς τούς αἰῶνας.

Στόματι καί καρδίᾳ σε, θεοφόρε Παρθένιε, ὁ ἐν τῇ θαλάσσῃ κινδυνεύων, πλοίαρχος, καλέσας λελύτρωται, πνιγμοῦ τῇ ἐπισκέψει σου·σύ γάρ ὁραθείς, ἐπί λιμένα γαλήνης, ὡδήγησας τό πλοῖον καί ἀφανής ἐγένου· ἐντεῦθεν οἱ σωθέντες, κηρύττουσι τό θαῦμα.

*Θεοτοκίον.*

Ἱεροφθόγγων στόματα, Προφητῶν σε κηρύττουσι, πύλην κεκλεισμένην καί ὄρος καί κλίμακα, νεφέλην ἀείφωτον, καί στάμνον μάννα φέρουσαν· σύ γάρ τόν τῶν ὅλων, σωματώσασα Κτίστην, τά σύμβολα τοῦ νόμου, καί τάς θεηγορίας, ἐπλήρωσας Παρθένε, ἀνδρῶν τῶν θεοφόρων.

*Ὠδή θ'. Ἐξέστη ἐπί τούτῳ.*

Μονάσας θεοφόρε θεοπρεπῶς, καί νεκρώσας σαρκός τά φρονήματα, πόνοις πολλοῖς, ἤρθης πρός τήν ἄπονον νῦν ζωήν, τελέσας τόν ἀγῶνα σου, καί Χριστόν δοξάσας ἀσκητικῶς, Παρθένιε παμμάκαρ, ᾧ πρέσβευε σωθῆναι, τούς εὐλαβῶς σέ μακαρίζοντας.

Ὁσίως καί ἀμέμπτως διαγαγών, τήν ζωήν σου Παρθένιε Ὅσιε, τῶν μοναστῶν, ὤφθης ὑποτύπωσις ἀληθής, ὡς ἀσκητής θεόληπτος, καί πεφωτισμένος παρά Θεοῦ· διό ἡ νῆσος Χίος, γεραίρει εὐχαρίστως, τά εὐαγῆ σου προτερήματα.



Ὑπῆλθες τόν ἀγῶνα τῆς ἀρετῆς, παριδών τά ἐπίγεια ἅπαντα, γνώμῃ σοφῇ, καί Ἁγίων ὤφθης συγκοινωνός, ἐν οὐρανοῖς Παρθένιε· ἀλλ' οἷά περ δῶρον Πάτερ μικρόν, τόν ὕμνον τοῦτον δέξαι, καί φωτισμόν μοι αἴτει, καί τῶν πταισμάτων τήν συγχώρησιν.

*Θεοτοκίον.*

Ὑπέρτερον τόν νοῦν μου καί τήν ψυχήν, προσπαθείας ἐνύλου ἀνάδειξον, Μῆτερ Θεοῦ, καί πρός τήν ἀγάπην τήν γλυκεράν, τοῦ σοῦ Υἱοῦ ἀνύψωσον, Κόρη τήν καρδίαν μου δυσωπῶ, ὡς ἄν τῆς αἰωνίου, ζωῆς κληρονομήσω, τήν ὑπέρ λόγον ὡραιότητα.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Ἀσκητικῶς ἐβίωσας, ἐν Χίῳ Πάτερ Ὅσιε, καί τῶν ἀρχαίων Πατέρων, τήν ἀρετήν ὑπεμφαίνεις, καί χάριν τήν οὐράνιον, τοῖς πόνοις σου Παρθένιε, μεθ' ὧν ἀπαύστως πρέσβευε, ὑπέρ ἡμῶν τῶν τελούντων, τήν φωτοφόρον σου μνήμην.

*Θεοτοκίον.*

Ἀφράστως ἀπεκύησας, τόν Ποιητήν τῆς κτίσεως, καί μετά τόκον Παρθένος, διέμεινας ὡς πρό τόκου· διό τά μεγαλεῖα σου, ὑμνοῦμεν Ἀειπάρθενε, καί εὐλαβῶς βοῶμέν σοι· χαῖρε Ἁγνή Θεοτόκε, πάντων ἡμῶν προστασία.

*Εἰς τούς Αἴνους.*

*Ἱστῶμεν στίχους δ'. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.*

*Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος!*

Ὅσιε Πάτερ Παρθένιε, δι' ἐναρέτου ζωῆς, καί συντόνου ἀσκήσεως, σεαυτόν ἐκάθηρας, γεηρᾶς πάσης σχέσεως, καί τῷ Σωτῆρι καλῶς ἑπόμενος, τῆς τούτου χάριτος κατετρύφησας· ὅθεν ἰσότιμος, τῶν Ἁγίων γέγονας,

www.tezaurliturgic.ro



ἐν οὐρανοῖς, πᾶσιν ἱλεούμενος, Χριστόν τόν εὔσπλαγχνον.

Ὅσιε Πάτερ Παρθένιε, ἐν τῷ σπηλαίῳ οἰκῶν, φωταυγής ὅλος πέφηνας, τοῦ Ἁγίου Πνεύματος, μυστικαῖς ἐπιλάμψεσι, καί πᾶσιν ὤφθης ὄντως αἰδέσιμος, καί Μονήν θείαν Θεῷ ἀνήγειρας, ἥτις προσπίπτουσα, τοῖς σεπτοῖς λειψάνοις σου, χρεωστικῶς, ἄγει ἑορτάζουσα, τήν θείαν μνήμην σου.

Πάτερ θεόφρον Παρθένιε, παρά Θεοῦ εἰληφώς, προφητείας τό χάρισμα, τά μακράν προήγγειλας, ὡς παρόντα σαφέστατα, καί τῶν μελλόντων προανεκήρυττες, στόματι θείῳ πᾶσι τήν ἔκβασιν· ὅθεν ὑμνοῦμέν σε, ὡς Θεοῦ θεράποντα, καί πρεσβευτήν, καί μεσίτην Ἅγιε, ἡμῶν πρός Κύριον.

Πάτερ παμμάκαρ Παρθένιε, τήν σήν ἁγίαν ζωήν, ὡς θυσίαν εὐπρόσδεκτον, τῷ Χριστῷ, προσήγαγες, ἱερῶς βιωσάμενος· ὅθεν Ἁγίων ὤφθης ὁμόσκηνος, καί τῆς εὐκλείας αὐτῶν ἰσότιμος· μεθ' ὧν ἱκέτευε, πάντοτε δεόμεθα, ὑπέρ ἡμῶν, τῶν ἐπιτελούντων σου, τήν μνήμην Ἅγιε.

*Δόξα. Ἦχος πλ. δ'.*

Ἁγιοπρεπῶς πολιτευσάμενος, τόν ἐν Ἁγίοις ἀναπαυόμενον Θεόν, ἐδόξασας Πάτερ, ἀρετῶν ἐπιδόσεσι· τήν γάρ τρίβον τῆς ζωῆς, Εὐαγγελικῶς ἐπορεύθης, μηδέν προκρίνας τοῦ θείου θελήματος, ἀνακεφαλαιώσας τῶν πάλαι Ἁγίων τά σκάμματα, μεθ' ὧν καί ὁ κλῆρός σου γέγονε. Καί νῦν τῶν πόνων τάς ἀμοιβάς, δρεπόμενος Παρθένιε, μή παύσῃ πρεσβεύων, ὑπέρ τῶν τιμώντων σε.

*Καί νῦν. Θεοτοκίον.*

Δέσποινα πρόσδεξαι...

*Δοξολογία μεγάλη καί ἀπόλυσις.*



## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Τά τυπικά, οἱ Μακαρισμοί, καί ἐκ τοῦ κανόνος τοῦ Ἁγίου ἡ γ'. καί στ'. ᾠδή.*

*Ἀπόστολον καί Εὐαγγέλιον τοῦ Ἁγίου Ἀντωνίου.*

*Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...*

*Μεγαλυνάριον.*

Χαίροις τῶν Ὁσίων ὁ μιμητής· χαίροις μοναζόντων, ὑποτύπωσις ἀληθής· χαίροις ὁ παρέχων, θαυμάτων ἐνεργείας, τοῖς εὐλαβῶς τιμῶσί σε ὦ Παρθένιε.

*Δίστιχον.*

*Ἐγρήγορσιν δίδου μοι Παρθένιε θείαν*  
*Γερασίμῳ πλέξαντι τούς δε σοι ὕμνους.*